ἄν τε ἄξιός τις εἴη, ἄν τε μή, τῷ εὖ πράττειν, λυπηθήσεται. ὁμοίως τούτῳ ὁ ἐπιχαιρέκακος ἡσθήσεται κακῶς πράττοντι, καὶ τῷ ἀξίῳ, καὶ τῷ ἀναξίῳ. ὁ δέ γε νεμεσητικὸς οὔ· ἀλλὰ μεσότης τίς ἐστι τούτων.

Κεφάλαιον κθ.

ΣΕμνότης δέ ἐστι αὐθαδείας ἀνὰ μέσον τε καὶ ἀρεσκίας. ἔστι δὲ περὶ τὰς ἐντεύξεις. ὅ,τε γὰρ αὐθάδης τοιοῦτός ἐστιν, οἷος μηδενὶ ἐντυχεῖν μηδὲ διαλλαγῆναι· ἀλλὰ τοὔνομα ἔοικεν ἀπὸ τοῦ τρόπου κεῖσθαι. ὁ γὰρ αὐθάδης αὐτοάδης τίς ἐστιν, ἀπὸ τοῦ αὐτὸς αὑτῷ ἀρέσκειν. ὁ δὲ ἄρεσκος τοιοῦτος, οἷος πᾶσιν ὁμιλεῖν, καὶ πάντως, καὶ πανταχῇ. οὐδέτερος δὴ τούτων ἐπαινετός. ὁ δέ γε σεμνός, ἀνὰ μέσον τούτων ὤν, ἐπαινετός. οὔτε γὰρ εἰς πάντας, ἀλλὰ εἰς τοὺς ἀξίοις. οὔτε εἰς οὐδένα, ἀλλὰ εἰς τοὺς αὐτοὺς τούτους.

Κεφάλαιον λ.

ΑΙδὼς δ' ἐστὶ μεσότης ἀναισχυντίας καὶ καταπλήξεως· ἔστι δὲ περὶ πράξεις καὶ λόγους. ὁ μὲν γὰρ ἀναίσχυντός ἐστιν ὁ ἐν παντὶ καὶ εἰς πάντας λέγων καὶ πράττων ἃ ἔτυχεν. ὁ δὲ καταπεπληγμένος, ὁ ἐναντίος τούτῳ, ὁ πάντα καὶ πάντας εὐλαβούμενος καὶ πρᾶξαι καὶ εἰπεῖν. ἄπρακτος γὰρ ὁ τοιοῦτος, ὁ πάντα καταπληττόμενος, ἡ δὲ αἰδὼς καὶ ὁ αἰδήμων μεσότης τούτων. οὔτε γὰρ ἅπαντα καὶ πάντως, ὡς ὁ ἀναίσχυντος, καὶ ἐρεῖ καὶ πράξει· οὔτε ὡς ὁ καταπλήξ, ἐν παντὶ καὶ πάντως εὐλαβηθήσεται, ἀλλὰ πράξει καὶ ἐρεῖ ἐν οἷς δεῖ, καὶ ἃ δεῖ, καὶ ὅτε δεῖ.

Κεφάλαιον λα.

ΕΥτραπελία δ' ἐστὶ μεσότης βωμολοχίας καὶ ἀγροικίας· ἔστι δὲ περὶ τὰ σκώμματα. ὅ τε γὰρ βωμολόχος ἐστὶν ὁ πάντα καὶ πᾶν οἰόμενος δεῖν σκώπτειν· ὅ,τε ἄγροικος, ὁ μήτε σκώπτειν βουλόμενος δεῖν, μήτε σκωφθῆναι, ἀλλ' ὀργιζόμενος. ὁ δ' εὐτράπελος ἀνὰ μέσον τούτων, ὁ μήτε πάντας καὶ πάντως σκώπτων, μήτ' αὐτὸς ἄγροικος ὤν. ἔσται δὲ ὁ εὐτράπελος διττῶς πως λεγόμενος. καὶ γὰρ ὁ δυνάμενος σκῶψαι ἐμμελῶς, καὶ ὃς ὑπομένει σκωπτόμενος, εὐτράπελος· καὶ ἡ εὐτραπελία τοιαύτη.

Κεφάλαιον λβ.

ΦΙλία δ' ἐστὶ μεσότης κολακίας καὶ ἔχθρας. ἔστι δὲ περὶ πράξεις καὶ λόγους. ὁ μὲν

A gnum, siue indignum, bene agere viderit. Cui similiter maleuolus par est, quippe qui lætatur, quòd quis malè agat, siue dignus, siue indignus sit. Nec indignabundus eiusmodi, verùm inter hos eiusmodi.

CAPVT XXIX.

GRauitas, medium est inter nimiam de se opinionem indéque natam pertinaciam, & nimium aliis placendi obsequendíque studium: versatur autem in
B congressu hominum. Nam & pertinax qui ita sibi placet, is est qui nemini conuenire velit, neminem alloqui, noménque à suis moribus inuenit: αὐθάδης enim Græcè dicitur, quasi αὐτοάδης, hoc est, *sibi ipsi placens*: sibi siquidem vni obsequitur ac placet. Delectatur autem talis, vt omnium velit habere conuersationem, & omnino, & omnifariam. Horum neuter laudabilis. At grauis, in medio istorum laudabilis. Neque enim erga omnes, sed erga
C meritos: nec erga neminem, sed erga hos ipsos consuescit.

CAPVT XXX.

VErecundia, est inter impudentiam, & stuporem medietas, in actionibus, colloquiísque constituta. Impudens est, qui vbique, & in omnes loquitur, & omnia agit vtcunque euenerint. At stupidus, seu attonitus, huic contrarius, & cuncta, &
D cunctos veritus, tam agendo, quàm dicendo solertiæ expers: talis est, qui in cunctis obstupescit. At verecundia, & verecundus, inter hæc medium tenet locum: neque enim cuncta, & omnino (vt impudens) & dicit, & agit: neque porrò (vt attonitus) in omni, & omnino trepidabit: verùm aget, loquetúrque vbi, & quæ, & quando expediat.

CAPVT XXXI.

E VRbanitas, est scurrilitatis, & rusticitatis medietas: in salibúsque committitur. Scurra siquidem est, qui cuncta & omnino incessendum esse existimat. Rusticus verò, qui neque incessere vult, neque rectè incessum iri existimat, sed excandescit. Vrbanus, qui inter hos medius, neque omnes, neque omnino incessens, neque item ipse agrestis, ac durus. At erit
F duobus ferè modis vrbanus: nam & moderatè incessere percalluerit, & aliorum iaculationem tolerabit. Ita nimirum vrbanus, atque vrbanitas.

CAPVT XXXII.

AMicitia, inter assentationem, & inimicitiam medietas, in actione, sermo-